ἐφαρμόζειν, ἔτι δὲ καὶ ἁρμονιῶν καὶ ἀστρονομίας καὶ πάντων τῶν ἄλλων. ἔστι δὲ τοιαῦτα ⟨τὰ⟩ τῶν ἀναλογιῶν καὶ τὰ περὶ τὰς κοινῶς συνθέσεις καὶ διαιρέσεις, καὶ ὅσα περὶ τὸ ἴσον καὶ ἄνισον θεωρεῖται τὸ ὁπωσοῦν ἔχον ἢ τὸ ὁποιονοῦν, καὶ ὅσα τὸ πολλαπλάσιον ἢ τὸ μεριστὸν ἐπισκοπεῖται, ἢ τὸ ὑπερέχον καὶ ἐλλεῖπον, ἢ τὸ διωρισμένον καὶ ἀδιόριστον κατὰ κοινὴν ἐπιβολήν, ἢ τὸ καθ' αὑτὸ καὶ τὸ πρός τι, ἢ τὸ ποσὸν ἁπλῶς, μηδὲν προσλαμβάνον τὸ τοιόνδε εἶδος τοῦ ποσοῦ ποσὸν τὴν τάξιν καὶ τὸ καλὸν τὸ ἐν τοῖς μαθηματικοῖς εἴδεσιν ᾗ ἐστιν ἐπιστημονικὰ θεωρεῖ, μηδὲν προσδιορίζον τὸ τοιόνδε κάλλος (ἤδη γὰρ τὸ τοιοῦτον τῶν ἐν μέρει ἐπιστημῶν ἐφάπτεται)· καὶ ὅσον δὲ αὖ τὸ ἀραρὸς καὶ βέβαιον τῆς ἐπιστήμης τῆς μαθηματικῆς σκοπεῖ, μήτε μεταβαλλόμενον ἄλλοτε ἄλλως, μήτε ἐξιστάμενον τῆς οἰκείας οὐσίας, μήτε νῦν μὲν οὕτως
193 αὖθις δὲ ἑτέρως νοούμενον, | καὶ τοῦτο τὰ κοινὰ ὑποκείμενα τῇ μαθηματικῇ ἐπιστήμῃ τῷ λογισμῷ περιλαμβάνει. οὐ μέντοι δεῖ ταῦτα ὑπολαβεῖν ὡς ἐπιγιγνόμενα τὰ κοινά, ἀλλ' ὡς προϋπάρχοντα τῶν καθ' ἕκαστα· οὐδ' ὡς ἐν τοῖς κατὰ μέρος καὶ μετ' αὐτῶν ἔχοντα τὴν οὐσίαν, ἀλλ' ὡς πρεσβυτέραν αὐτῶν καὶ ἀρχικωτέραν προειληφότα, οὐ μὴν διήκουσαν δι' αὐτῶν, ἀλλὰ προτεταγμένην πρὸ τῶν ἰδίων

---

2 τὰ addidi cl. Procl. p. 7, 22 ‖ 4 immo θεωρεῖ, καὶ τὸ ‖ 5 fort. ἢ τὸ ὁποιωσοῦν? ‖ 7 καὶ (post διωρισμένον) scripsi: ἢ ‖ 8 ποσὸν scripsi: προσ̀ (h. e. προσὸν, et ita apogr.) ‖ 9 sq. exspectes τοῦ ποσοῦ, ⟨καὶ τὸ⟩ ποσὸν ⟨πρὸς ἄλλο, ἢ⟩ τὴν τάξιν sim.; cf. Procl. p. 8, 4 καὶ μὴν καὶ τὸ κάλλος καὶ ἡ τάξις κοινὰ πάντων ἐστὶ τῶν μαθημάτων κτλ. ‖ 13 αὖ τὸ Vitelli: αὐτὸ ‖ 14 ἀραρὸς] ita F (cf. Lobeck, Paralipom. p. 48 n. 57) ‖ 19 ὑπολαβεῖν Vitelli: ἀπολιπεῖν ‖ 20 τὰ κοινά transponi vult ante ταῦτα (cl. Procl. p. 8, 21) Vitelli.